καὶ λογισμὸν καὶ γνῶσιν. ἀλόγιστον δὲ φύσιν εἰσάγουσιν. εἰ
τοίνυν ἀνάγκη φύσεως πρὸς τὰς προβολὰς αὐτοῖς ἐφέρε-
το, ὅσον ἄν τις φαίη τυγχάνειν τὸ ἀφ' οὗ κατεκρίθη διὰ-
στημα τοῦ αἰῶνος ἕως νῦν δῆλον, ὡς ἔτι τούτου μυριοπλα-
σίους αἰῶνας ἀπὸ τῶν μαθητῶν ἐξόριστος, ἀπὸ τῆς διδασκα-
λίας γέγονεν. εἰ δὲ βούλεσθε μαθεῖν, ὅτι καὶ οἱ δαίμονες αὐ-
τοὶ οὐκ ἀπὸ ῥίζης εἰσὶ κακοί, οὐδὲ ῥίζαν ἀτοπίας ἔχουσιν.
ἀλλὰ κακοῖνοι ἀπὸ προαιρέσεως ἐπὶ τοῦτο ἐληλύθασιν
οὐ πονηροὶ τὴν φύσιν ὄντες, οὐκ ἀγνοίᾳ ~~ἐγ~~ ἀνειργμέ-
νοι, οὔτε νὺξ καὶ σκότος τὴν οὐσίαν τυγχάνοντες, ἀλλ'
ἕξει, καὶ ἐπιτηδεύμασι τῇ ἐπιχειρήσει τῶν τοιούτων γεγο-
νότες, τὸν λόγον ἐξετάσωμεν. τυφλὴ μὲν οὖν φύσις,
οὐδὲ ἐν ἐλαχίστῃ καὶ ὀλίγῃ τῇ βλέψει γενήσεται. καὶ
αὐτὴ ἡ ἄγνοια, οὐδὲ ῥανίδα γνώσεως ἑαυτῇ προσποι-
ήσεται. οὐδὲ νὺξ αὐτὴ καὶ σκότος τὸ οὕτω πεφυκός.
κἂν εἰς βραχεῖαν λαμπηδόνα μεταποιηθήσεται. φαί-
" νονται δὲ καὶ οἱ δαίμονες καὶ σωτῆρα εἰδότες καὶ κύ-
" ριον ὁμολογοῦντες. οἴδαμέν σε τίς εἶ, λέγοντες ὁ υἱὸς
" τοῦ θεοῦ τοῦ ζῶντος. εἰδέναι δὲ ἄγνοια οὐ δύναται, καὶ βλέ-
πειν, τυφλὴ φύσις οὐκ ἰσχύει. ἴσασι καὶ ἀληθεύουσιν εἰδό-
τες, καὶ οὐ συκοφαντοῦντες λέγουσι. λέγουσι γὰρ ὄντως
κἂν μὴ γνησίᾳ διαθέσει τὴν ἀλήθειαν, οὐκέτι τυφλῇ
τῇ φύσει, οὔτε τῇ ἀγνοίᾳ κατηγοροῦνται. οἱ γὰρ ἂν
οὐδὲ τὸ ἐλάχιστον ἑώρων, οὐδὲ ἱκέται ἦσαν, οὔτε παρεχώ-
ρουν τῷ λεγομένῳ, οὔτε διέκριναν τὸν φανέντα ἄλλον
τῶν πολλῶν εἶναι, καὶ οὐδὲν διαφέρειν αὐτόν τε καὶ αὐτῶν.
ἰδοὺ γὰρ τὰ ἄλογα ζῷα μεταξὺ σοφῶν τε καὶ ἀσό-
φων οὐκ ἔχει εἰδέναι πόσοι σοφοί, καὶ πόσοι ἄσοφοι. εἰ
δὲ ἔγνωσαν οἱ δαίμονες καὶ διάκρισιν εἰδότες ἀπολε-
λυνται τοῦ ἀδιακρίτου, διακρίσει τὸ τοιοῦτον ἐπεγνωκό-
τες. ἐλέγχεται καὶ ἐν τούτῳ μὴ φύσις, ἀλλὰ προαιρέ-
σις